γὰρ εἰ ἀμφότεροι κατὰ τὸ συμφέρον ἀλλήλοις φίλοι, ἢ κατὰ τὸ ἡδὺ, ἢ κατ' ἀρετὴν, οὐ δῆλος ἡ ἔλλειψις ἡ παρὰ τοῦ ἑτέρου, ἐὰν πλείω ἀγαθὰ σύ μοι ποιῇς, ἢ ἐγὼ σοι. οὐδὲ ἀμφισβητῶ ὅτι μὴ οὐ δεῖν σε μᾶλλον ὑπ' ἐμοῦ φιλεῖσθαι. ἐν ᾗ δὲ φιλίᾳ μὴ διὰ ταὐτὸ φίλοι ἐσμὲν, μᾶλλον αἱ διαφοραί. ἄδηλος γὰρ ἡ ἔλλειψις παρ' ἑκατέρου. οἷον εἰ ὁ μὲν δι' ἡδονὴν φίλος ἐστὶν, ὁ δὲ διὰ τὸ συμφέρον, ἐνταῦθα ἡ ἀμφισβήτησις. οὔτε γὰρ ὁ τῷ συμφέροντι ὑπερέχων, ἀξίαν οἴεται τὴν ἡδονὴν ἀντικαταλλάττεσθαι τοῦ συμφέροντος, οὔτε ὁ τῇ ἡδονῇ ὑπερέχων ἀξίαν τῆς ἡδονῆς ἐν τῷ συμφέροντι χάριν ἀπολαμβάνει· διὸ μᾶλλον αἱ διαφοραὶ ἐν ταῖς τοιαύταις φιλίαις γίγνονται. οἱ δὲ ἀνισότητι φίλοι ὄντες, οἱ μὲν ὑπερέχοντες πλούτῳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ, οὐκ οἴονται δεῖν αὐτοὶ φιλεῖν, ἀλλ' ὑπὸ τῶν ἐνδεεστέρων οἴονται δεῖν αὐτοὶ φιλεῖσθαι. ἔστι δὲ βέλτιον τὸ φιλεῖν ἢ τὸ φιλεῖσθαι. τὸ μὲν γὰρ φιλεῖν ἐνέργειά τις ἡδονῆς, καὶ ἀγαθόν· ἀπὸ δὲ τοῦ φιλεῖσθαι οὐδεμία τῷ φιλουμένῳ ἐνέργεια γίνεται. ἔτι δὲ βέλτιον τὸ γνωρίζειν, ἢ τὸ γνωρίζεσθαι. τὸ μὲν γὰρ γνωρίζεσθαι καὶ τὸ φιλεῖσθαι καὶ τοῖς ἀψύχοις ὑπάρχει· τὸ δὲ γνωρίζειν καὶ φιλεῖν, τοῖς ἐμψύχοις. ἔτι τὸ εὐποιητικὸν εἶναι, βέλτιον ἢ τὸ μή. ὁ μὲν οὖν φιλῶν, εὐποιητικὸς ᾗ φιλεῖ· ὁ δὲ φιλούμενος, ᾗ φιλεῖται, οὔ. ἀλλ' οἱ ἄνθρωποι διὰ φιλοτιμίαν φιλεῖσθαι μᾶλλον βούλονται ἢ φιλεῖν, διὰ τὸ ἐν τῷ φιλεῖσθαι ὑπεροχήν τινα εἶναι. ἀεὶ γὰρ ὁ φιλούμενος ὑπερέχει ἡδονῇ ἢ εὐπορίᾳ, ἢ ἀρετῇ· ὁ δὲ φιλότιμος τῆς ὑπεροχῆς ὀρέγεται· καὶ οὐκ οἴονται δεῖν αὐτοὶ φιλεῖν οἱ ἐν ὑπεροχῇ ὄντες. ἀντιδιδόναι γὰρ ἐν οἷς ὑπερέχουσι τοῖς φιλοῦσιν αὐτοῖς. ἔτι δὲ καὶ ἥττους αὐτῶν εἰσί· διὸ οὐκ οἴονται δεῖν φιλεῖν, ἀλλὰ φιλεῖσθαι. ὁ δ' ἐνδεὴς χρημάτων, ἢ ἡδονῶν, ἢ ἀρετῆς, θαυμάζει τὸν ὑπερέχοντα τούτοις, καὶ φιλεῖ διὰ τὸ τούτων ἢ τυγχάνειν, ἢ οἴεσθαι τεύξεσθαι. εἰσὶ δὲ καὶ τοιαῦται φιλίαι ἐξ ὁμοιοπαθείας, ἐκ τοῦ τἀγαθὰ βούλεσθαι τινὶ εἶναι. οὐκ ἔστι δὲ ἡ ἐπὶ τούτων γινομένη φιλία πάντα ταῦτα ἔχουσα. πολλάκις γὰρ ἄλλῳ μὲν εἶναι βουλόμεθα τἀγαθὰ, συζῆν δὲ αὐτοὶ μετ' ἄλλου. ἀλλὰ ταῦτα πότερον δεῖ φιλίας εἰπεῖν, ἢ τῆς τελείας φιλίας τῆς κατ' ἀρετὴν πάθη; ἐν ἐκείνῃ γὰρ τῇ φιλίᾳ πάντα ταῦτα ὑπάρχει. καὶ γὰρ συζῆν μετ' οὐδενὸς ἄλλου ἂν θέλοιμεν.

A Vt si vtique propter commodum inter se inuicem amici concilientur, aut propter iucundum, aut propter virtutem, defectus, qui ab altero, exploratus ac certus est. Si igitur plura tu mihi bona contuleris, quàm ego tibi, non ambigo quin tu de me bene meritus, à me plus amari debeas. Vbi autem non hac amicitia amici fuerimus, ibi maiora dissidia. Defectus siquidem ab vtroque, incer-
B tus. Vt si propter voluptatem vnus quidem sit amicus, & propter commodum alter, inde oritur ambiguitas. Neque enim qui commodo excedit, voluptatem censet dignam, quæ commodo rependatur: nec qui voluptate superat, dignã gratiam in ipso commodo se existimat accipere. Idcirco in eiusmodi amicitiis, magis exoriuntur dissidia. Qui verò ex inæqualitate amici sunt, nempe excedentes opi-
C bus, vel alio huiusmodi aliquo, non sibi censent amandum esse, sed ab inferioribus amari oportere existimant. At amare melius est, quàm amari. Siquidem amari, voluptatis actio quædam est, & bonum: ab eo autem quod amatur, nulla actio est. Nempe cognoscere, melius, quàm cognosci. Cognosci enim, & amari etiam in carentibus anima existit: at cognoscere, & amare, in rebus animatis.
D Rursus, beneficum esse, melius, quàm secus. Qui amat, quatenus amat, beneficus est: amatus verò, quatenus amatur, non. Sed homines honoris cupiditate incensi, amari, quàm amare, malunt: quòd quatenus amantur, videantur præcellere. Amatus siquidem, voluptate, vel copia, vel virtute præcellit. At honoris cupidus, eminentiam affectat: & qui excellunt, sibi non amandum esse arbitran-
E tur, quod in quibus excedunt, amantibus rependi opinantur. Item ipsis sunt deteriores illi, ob hoc non censent amare debere, sed amari. Sed qui egenus pecuniarum, aut voluptatum, aut virtutis, is affluentem suspicit, & amat, quòd ea consequatur, aut se consecuturum opinetur. Sunt autem & aliæ ex consimili affectu conciliatæ amicitiæ, & ex eo quòd cuipiam bona velint, in quibus non est
F cuncta hæc comprehendens amicitia. Nam sæpenumero alij bona volumus, attamen cum alio vitam agere malimus. Vtrùm verò hoc amicitiæ dicere oportet conuenire, an perfectæ amicitiæ quam virtus conciliarit? in ea siquidem amicitia hæc insunt cuncta. Nam cum alio nemine vitam agere libuerit: siquidem